## 12 MARTIE

# SLUJBA SF.IERARH GRIGORIE 1 CEL MARE, EPISCOPUL ROMEI



BIBLIOTECA AGHIORITICĂ-1938
VOLOS,1938


SAINT
GREG
OR
Y
THE GREAT
BY THE HAND OF
SIMEON 1991

# 12 ΜΑΡΤΙΟΣ
# ΑΓΙΟΣ ΓΡΗΓΟΡΙΟΣ ΔΙΑΛΟΓΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ῥητορεύων Γρηγόριε, τὰ τοῦ πνεύματος λόγια, καὶ στολὴν τὴν ἔνθεον ἀμπεχόμενος, ἱεραρχίας καὶ θέμενος, ψυχὴν προθυμότατα, ὑπὲρ ποίμνης τοῦ Χριστοῦ, προφανῶς ἀναδέδειξαι χριστομίμητος, καὶ ὁμότροπος ὄντως τῶν Ἁγίων, καὶ πανσόφων Ἀπόστολων, καὶ Κορυφαίου διάδοχος.

Τὸν τῆς πίστεως πρόμαχον, εὐσεβείας διδάσκαλον, πρεσβυτέρας Ῥώμης τε ἀρχιποίμενα, ἱεραρχῶν τὸν κοσμήτορα, πιστῶν παρακλήτορα, τῶν πτωχῶν προασπιστήν, τῶν νοσούντων ἀκέστορα, λειτουργίας τε, συγγραφέα τῆς θείας τελουμένης, ἐν τῇ προηγιασμένων, ἀνευφημοῦμεν Γρηγόριον.

Ὑψωθεὶς ἐν τῷ Πνεύματι, τῷ Ἁγίῳ Γρηγόριε, διὰ ταπεινώσεως ἐπανύψωσας, τὴν Ἐκκλησίαν διδάγμασιν, ἐνθέοις καὶ πράξεσι, θεαρέστως τὸ δοθέν, ἐπαυξήσας τε τάλαντον, κατεφαίδρυνας, τὴν εὐπρέπειαν ταύτης ὥσπερ λίθους, διαυγεῖς καὶ μαργαρίτας, τὰ σὰ προθεὶς θεῖα δόγματα.

*Ἕτερα. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Στολὴν ἐνδυσάμενος, ἱεραρχίας τρισμάκαρ, εἰσῆλθες εἰς Ἅγια τῶν Ἁγίων αἴνεσιν τῷ Δεσπότῃ σου, ἐκτενῶς πάνσοφε, καθαροῖς χείλεσιν, ἀναπέμπων ὥσπερ Ἄγγελος, καὶ φωτιζόμενος, τοῖς θεουργικοῖς ἀμαρύγμασι, λαοὺς πιστοὺς ὡδήγησας, τῇ θεολογίᾳ τῆς πίστεως, Γρηγόριε μάκαρ, ὡς Ῥώμης παλαιᾶς θεῖος ποιμήν, ὡς Ἐκκλησίας διδάσκαλος, μύστης ὡς τῆς χάριτος.

Κυρίῳ κολλώμενος, διηνεκῶς ἱεράρχα, καὶ τῷ θείῳ ἄνθρακι καθαρῶς ἑνούμενος στῦλος πύρινος, νοητῶς γέγονας, τοῦ λαοῦ Ὅσιε, τοῦ πιστοῦ σὺ προηγούμενος, καὶ ἐξαιρούμενος, τούτους τῆς δουλείας τοῦ δράκοντος, καὶ μάνδραν πρὸς οὐράνιον, καλῶς ἐμβιβάζων ταῖς λάμψεσι, ταῖς τῆς εὐσεβείας, καὶ θείων διδαχῶν μαρμαρυγαῖς· διὸ τιμῶμεν τὴν μνήμην σου, ἱερὲ Γρηγόριε.

Ἄσπιλον ἐτήρησας, ἱεραρχίας τὸ χρῖσμα, ἱερὲ Γρηγόριε, καὶ αὐτῆς ὡς τάλαντα τὰ χαρίσματα, ἀμισθὶ ηὔξησας, τῇ Χριστοῦ χάριτι, ἐν ἀγάπῃ καὶ πραότητι, καὶ ζέσει πίστεως, καὶ ἐν οἰκτιρμοῖς καὶ δεήσεσι, καὶ πᾶσιν οἷς ἀρέσκεται, ὁ τῆς δόξης μόνος καὶ Κύριος· ὅθεν θεηγόρε, ἠξίωσας ποιμαίνειν εὐσεβῶς, τὸ λογικὸν Χριστοῦ ποίμνιον, εἰς νομὴν σωτήριον.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐγχειρισθεὶς παρὰ Χριστοῦ Γρηγόριε, τοὺς τῆς Ἐκκλησίας οἴακας, τὸ σκάφος αὐτῆς διηύθυνας εἰς σωτήριον ὅρμον, καὶ διέσωσας αὐτὴν τῶν τοῦ ἐχθροῦ

ναυαγίων, τῇ διδαχῇ τῶν θείων λόγων σου, ἱεράρχα πανσεβάσμιε· διὸ παῤῥησίαν ἐσχηκὼς πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς,

καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας

καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν

θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ἀγλαοφανῶς ἡ μνήμη σου ἐπέλαμψεν ἡμῖν, Γρηγόριε θαυμαστέ, τῆς Ῥώμης καύχημα καὶ ἀγαλλίαμα· σὺ

γὰρ τὸν θρόνον ταύτης ἐκόσμησας, ταῖς ἀρεταῖς ἐκλάμψας εὐπρεπῶς, καὶ τῇ σοφίᾳ τῶν γραμμάτων σου, στηρίξας καὶ διδάξας εὐσεβῶν τὸ πλήρωμα· δίδαξον ἡμᾶς στοιχεῖν, ταῖς ἁγίαις παραδόσεσιν, ἵνα μέτοχοι γενώμεθα τῆς οὐρανίου δόξης καὶ τιμῆς, ἐν τῇ πανηγύρει τῆς αἰωνίου εὐφροσύνης καὶ ἀγαλλιάσεως.

*Ἦχος β΄.*

Φερωνύμως ἡ κλῆσίν σου γέγονεν, ἱεράρχα θεοῤῥῆμον Γρηγόριε, γρηγορήσας γὰρ ἐν ἑαυτῷ, τὰς τοῦ Κυρίου ἔγνως ἐντολάς, καὶ τὸ κατ’ εἰκόνα διατηρήσας ἀλώβητον τῷ Θεῷ εὐάρεστος γέγονας· ὅθεν κῆρυξ ἱερὸς τῆς εὐσεβείας δειχθεὶς, καὶ ποιμὴν ποιμένων, τὸ λογικὸν Χριστοῦ ποίμνιον, εἰς νομὰς σωτηρίους εἰσήλασας καὶ τὴν θεοτύπωτον ἱερουργίαν τὴν φρικτήν, εὐσεβῶς ῥυθμίσας θεοφόρε, μετὰ τῶν τριῶν μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν, κλῆρον εἴληφας ἐν οὐρανοῖς, μεθ’ ὧν καὶ πρεσβεύεις ὑπὲρ ἡμῶν, Πάτερ ἱερώτατε.

*Ἦχος γ΄.*

Τοὺς ὅρους τῆς πίστεως ἐξέθεσας ἡμῖν, ὡς παρακαταθήκην ἱεράν, Γρηγόριε Διάλογε, τῆς Ῥώμης Πάπα ἔνδοξε, καὶ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ πολύσοφε διδάσκαλε· τῇ πυξίδι τῆς θείας σου γνώσεως, ὁδήγησον ἡμᾶς εἰς ὁδὸν τῆς ἀληθείας, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν, ἐν τῷ φωτὶ τῆς θείας καταπαύσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν, τὸν Θεὸν τὸν ὑπερένδοξον.

*Ἦχος δ΄.*

Τὸν ἐν ἱεράρχαις ὅσιον, καὶ ἐν Ἁγίοις μέγιστον Γρηγόριον, ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν· οὗτος γὰρ τὰ θεῖα ἔχων ἐν ἑαυτῷ μυστήρια ἐγνώρισε, Θεοῦ ποιμὴν ἀνηγορεύθη, κλήσει τοῦ αὐτοῦ καὶ τοῦ ποιμνίου, καὶ γενόμενος τοῖς ἔργοις ἰσαπόστολος, ἰσάγγελος ἐδείχθη καὶ τῷ βίῳ, ὃς καὶ ἐντυγχάνει ἀμέσως ὑπὲρ ἡμῶν, τὸν φιλάνθρωπον καὶ Κύριον.

*Ἦχος πλ. α΄.*

Τίς ἐξειπεῖν δυνήσεται, τοῦ σοῦ βίου τὰ θαυμάσια, ὢ θαυμαστὲ Γρηγόριε, Πάπα Ῥώμης ἀξιάγαστε! Ὅτι ἐπλήσθης χαρισμάτων θεϊκῶν, τοῦ Ἁγίου Πνεύματος δεχθεὶς δοχεῖον καθαρώτατον, καὶ κάλαμος ὀξύτατος τῶν θείων μεγαλείων· οἷς καὶ ἡμεῖς μετέχοντες, τῇ μελέτῃ τῶν σοφῶν συγγραμμάτων σου, Θεὸν δοξολογοῦμεν τὸν ἐν Ἁγίοις ἐνδόξως δοξαζόμενον.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῆς ἱεραρχίας κανὼν ἐδείχθης, καὶ εἰκὼν τῆς ἀγαθότητος, τίμιε ἀρχιερεῦ Γρηγόριε, τοῦ μεγάλου Ἀρχιερέως Χριστοῦ, πιστότατε δοῦλε καὶ ἐργάτα δόκιμε· σὺ γὰρ ὡς χρυσὸς ἐδοκιμάσθης ταῖς τοῦ βίου θλίψεσι, τοῦ Θεοῦ φυλάξας τὰς ἐντολάς, καὶ τὴν πρὸς Αὐτὸν ἀγάπην, διατηρήσας ἐν παντὶ ἀνόθευτον· ὅθεν καὶ ἠξιώθης τῷ ἐπουρανίῳ θυσιαστηρίῳ, σὺν Ἀγγέλοις λειτουργεῖν, δεόμενος ἐκτενῶς ὑπὲρ τῶν πίστει τιμώντων, τὴν ἱερὰν καὶ πανσεβάσμιον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Ἱεραρχῶν καλλονή, τῆς Ἐκκλησίας θησαυρὸς ὁ πολύτιμος, Γρηγόριε θεοῤῥῆμον, ἡ τῆς σοφίας λαμπάς, πίστεως ἁγίας τὸ κεφάλαιον· ὁ νοῦς ὁ γνωρίσας, δι' ἐμπειρίας καὶ πράξεως, τῆς οὐρανίου, Βασιλείας τὰ ἄῤῥητα, καὶ ἀκρότατα, ἀπ' αἰώνων μυστήρια· στῦλος ὁ ἀκατάσειστος, τῆς Ῥώμης τὸ καύχημα, τῆς οἰκουμένης τὸ κλέος, τῶν θεολόγων ἡ εὔκλεια, ὁδὸν ὑποδείξας, τὴν εὐθεῖαν τοῦ Κυρίου, ὡς φίλος γνήσιος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Ἄγει, μητροπρεπῆ ἑορτήν, καὶ ἐπιχαίρει καυχωμένη τῷ πνεύματι, τῆς Ῥώμης ἡ θεία πόλις, προβαλλομένη λαμπρῶς, Πάπαν θεηγόρον τὸν Γρηγόριον· αὐτῆς γὰρ τὸν θρόνον, πανευπρεπῶς κατεκόσμησε, ταῖς ἀριστείαις, τῶν καλῶν ἐπιδόσεων, τύπος ἔμψυχος, τῶν πιστῶν γνωριζόμενος· λύχνος τῆς θείας πίστεως, σοφίας τὸ ἔσοπτρον, πνευματικῶν χαρισμάτων, τὸ θαυμαστὸν ἐνδιαίτημα, ἡμῖν ἐκδιδάσκων, ἐντολῶν τῶν τοῦ Κυρίου, τὴν ἐπιμέλειαν.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Σκεῦος, τῆς ἐκλογῆς ἱερόν, ἀνεγνωρίσθης Ἱεράρχα Γρηγόριε, εἰς ὕψη τῆς θεωρίας, τῆς ὑπὲρ νοῦν ἀναβάς, διὰ τῶν ἀγώνων τῶν τιμίων σου· ὁσίων ἐδείχθης, ὑπογραμμὸς ἀκριβέστατος, δι' ἐγκρατείας, καὶ τῆς ἄκρας συγχύσεως, ἀπενέκρωσας, τῆς σαρκός σου τὸ φρόνημα· φίλος τῆς ἡσυχίας τε, πατὴρ καὶ διδάσκαλος, Εὐαγγελίου ἐργάτης, τῶν μοναζόντων ἡγούμενος, πτωχῶν ἀντιλήπτωρ, τῶν πασχόντων τε προστάτης, ὁ εὐσυμπάθητος.

*Δόξα. Ἦχος δ΄.*

Ἀναβὰς ἐν τῷ ὕψει τῶν ἀρετῶν, δι' ἀσκήσεως τὸ πρότερον, τῆς Ἐκκλησίας προστάτης Γρηγόριε, εἰς τὸ ὕστερον γεγένησαι πάνσοφε· ὅθεν ἐν ἑκατέροις εὐδοκιμήσας, δι' ἀμφοῖν ἀνεπτερώθης, ὡς περιστερὰ χρυσαυγίζουσα, καὶ πρὸς τὸν ποθούμενον Χριστὸν κατέπαυσας, Ἱεράρχα θεοφόρε ἀοίδιμε· ἐκτενῶς δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ’. Θείας Πίστεως.*

Στόμα γρήγορον, καταπλουτήσας, νομεὺς ἄριστος τοῦ θείου λόγου, ἀνεδείχθης Ἱεράρχα Γρηγόριε, τῶν ἀρετῶν γὰρ ἐκφάντωρ γενόμενος, δικαιοσύνης ἐκφαίνεις τὴν ἔλλαμψιν Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὸν τοῦ Κυρίου εὐκλεῆ ἱεράρχην, ἐν ὑμνῳδίαις ἱεραῖς εεὐφημιῦμεν, οἱ συνελθόντες ἅπαντες βοῶντες πρὸς αὐτόν· σῷζε ταῖς πρεσβείαις σου, τοὺς σὲ πόθῳ τιμῶντας, θραῦσον τὰ φρυάγματα, κακοδόξων παπίστων, καὶ εἰρηναίαν αἴτησαι ζωήν, τοῖς Ὀρθοδόξοις, Γρηγόριε πάνσοφε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων

κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Τὸ ὄμμα καθάρας σου τὸ νοερὸν τῆς ψυχῆς, κατεῖδες μυστήρια τὰ τοῦ Θεοῦ ὡς εἰκός, καὶ ταῦτα ἐδίδαξας, πᾶσι τοῖς εὐσεβέσι, καὶ αὐτοὺς πρὸς τὸ ὕψος, θεωρίας ἀνάγων, ἐξεπαίδευσας σέβειν, Θεὸν τὸν ἐν Τριάδι τρισμάκαρ Γρηγόριε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲπροστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰθράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰτῶν δούλων σου.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Αἰνέσωμεν πιστοί, ἱεροῖς ἐγκωμίοις, σοφίας ἐραστήν, καὶ τῆς γνώσεως μύστην, Γρηγόριον Διάλογον, Πάπαν Ῥώμης τὸν ἔνδοξον· τὸν συγγράψαντα, τὴν ἱερὰν λειτουργίαν· ἧς ἑπόμενοι, μετ' εὐαρέστου λατρείας, Θεὸν μεγαλύνομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Προστάτιν πρὸς Θεόν, κεκτημένοι Σε πάντες, προστρέχομεν σεμνή, τῷ ἁγίῳ ναῷ Σου, αἰτούμενοι

βοήθειαν, παρὰ Σοῦ ἀειπάρθενε· ῥῦσαι οὖν ἡμᾶς, τῆς τῶν δαιμόνων κακίας, καὶ ἐξάρπασον, ἐκ καταδίκης φρικώδους, τοὺς Σὲ μακαρίζοντας.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανεύφημε, Γρηγόριε Διάλογε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

*ᾨδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.*

Χριστὲ Σωτήρ, τὸ φῶς τοῦ κόσμου τὸ ἄδυτον, φῶς νοερὸν κατάπεμψον τῇ διανοίᾳ μου, καταυγάζον ὑμνῆσαι, τῆς Ῥώμης τὸν προστάτην θεῖον Γρηγόριον.

Ἵνα τὴν σήν, κόσμῳ παντὶ ἐπιδείξηται, ὁ προγινώσκων ἅπαντα, ἀρετὴν πάνσοφε, εἰς περίβλεπτον ὕψος, τὸ τῆς ἱεραρχίας σὲ ἀνεβίβασεν.

Σὲ ὡς σεπτὸν καὶ καθαρώτατον σκήνωμα, ἐφευρηκυῖα ᾤκησεν ἡ Τριὰς πάνσοφε, ἐν σοὶ καὶ χαρισμάτων, ἐνέπλησεν ἐνθέως θεῖε Γρηγόριε.

*Θεοτοκίον.*

Τὸ καθαρόν, τῆς παρθενίας κειμήλιον, τὴν τοῦ Θεοῦ γεννήτριαν, τὴν ἀπολύτρωσιν, τοῦ ἀνθρωπίνου γένους, τὴν χαρὰν τῶν Ἀγγέλων ὕμνοις δοξάζομεν.

*ᾨδὴ γ΄. Στερέωσον ἡμᾶς.*

Ὁ βίος σου σεμνὸς ὁ τρόπος ἔνθεος, τὸ ἦθος συνέσει κεκοσμημένον, ὁ δὲ λόγος σου θεόσοφε, ἠρτυμένος ὑπῆρξε θείῳ ἅλατι.

Ἐφῆψεν ὁ Χριστὸς ὥσπερ λαμπάδα σε, Γρηγόριε λάμπουσαν ἐν τῷ ὕψει, Ἐκκλησίας παμμακάριστε, καταυγάζοντα ταύτην ταῖς ἀκτῖσί σου.

Ἐξένευσας τὸν νοῦν τοῦ κόσμου τέλεον, καὶ ὅλον τὸν πόθον πρὸς τὸν Δεσπότην, ἀνατείνας χάριν εἵλκυσας, ἱεράρχα Γρηγόριε τοῦ πνεύματος.

*Θεοτοκίον.*

Ῥητόρων τὸ διάτορον σεσίγηται, σοφῶς ἡ ἀγχίνοια ἐμωράνθη, τῇ κυήσει Σου Θεόνυμφε, ἀπορούντων νοεῖν Σου τὸ μυστήριον.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὸν σοφὸν ἱεράρχην ἀνευφημήσωμεν, τὸν τῆς Ῥώμης ποιμένα καὶ θεῖον πρόμαχον, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καὶ ἐκβοήσωμεν, ἐν κατανύξει πρὸς αὐτόν,

Γρηγόριε θεοῤῥῆμον, τοῦ δωρηθῆναι εἰρήνην, ταῖς Ἐκκλησίαις καὶ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν . Θεοτοκίον*

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*ᾨδὴ δ΄. Εἰσακήκοα τὴν ἔνδοξον.*

Ἀπαστράπτεις τοῖς θαύμασι, Πάτερ σοφὲ καὶ σκότος παθημάτων, ἐκδιώκεις πόῤῥω, θείαις ἐντεύξεσιν.

Ῥητορεύων τὴν σάρκωσιν, Χριστοῦ σοφὲ θεότητα τὴν τούτου, Λογγιβάρδων ἔθνος, ἐξεμυκτήρισας.

Ὡς Μωσῆς εἰς τὸ ἄδυτον, γνόφον εἰσδὺς τὰς πλάκας ὑπεδέξω, τοῦ Εὐαγγελίου μάκαρ Γρηγόριε.

*Θεοτοκίον.*

Τὴν οὐράνιον κλίμακα, δι᾽ ἧς Θεὸς κατέβη καὶ τὴν φύσιν, τῶν βροτῶν ἀνύψωσε μακαρίζομεν.

*ᾨδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.*

Ὁ τοῦ Χριστοῦ μιμητής, Ἱεραρχῶν καλλονὴ σήμερον, πάντας πιστοὺς Γρηγόριος καλεῖται, τελέσαι τὴν αὐτοῦ σεβάσμιον μνήμην, καὶ χάριτας λήψεσθαι.

Μεγαλωσύνην Θεῷ, ἀποδιδοὺς διηνεκῶς πάνσοφε, Γρηγόριε ἀντεμεγαλύνθης, ἀξίως παρ᾽ αὐτοῦ, οἶδε παρ᾽ αὐτοῦ, οἶδε γὰρ δοξάζειν Θεός, αὐτὸν τοὺς δοξάζοντας.

Εἰρηνικῶς τὴν ζωήν, διηνεκῶς εἰρηνικὰ ἔφθασας, Γρηγόριε σοφὲ πρὸς κατασκηνώσεις, εἰρήνην πάντα νοῦν, τὴν ὑπερκειμένην, Χριστὸν γὰρ ἐκήρυξας.

*Θεοτοκίον.*

Γῆ ἀνήρωτος σεμνή, ἀναβλαστήσασα ζωῆς τὸν ἄσταχυν, Σὺ ἀληθῶς ἐδείχθης ἐξ οὗπερ, ὁ τρώγων εὐσεβῶς ὡς ζωῆς μετέχων, οὐκ ὄψεται θάνατον.

*ᾨδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.*

Ἀνενδότως Θεῷ συγγινόμενος, ταῖς μαρμαρυγαῖς ταῖς ἐκεῖθεν ἐδείκνυσο, στῦλος πυρὸς Γρηγόριε, τοῦ λαοῦ τοῦ πιστοῦ προηγούμενος.

Νοερῶς τοῖς ἀΰλοις μιγνύμενος, Ὅσιε Ἀγγέλοις αὐτοῖς συνεδόξασαι, νῦν μεταστὰς Γρηγόριε, ὥσπερ ὢν καὶ πρὸ τέλους μετάρσιος.

Σῶν χειλέων αἱ ῥήσεις Γρηγόριε, ὕδωρ ὥσπερ ζῶν ζωηῤῥύτως ἀνέβλυσε, καὶ τὰς καρδίας ηὔφρανε, νοητῶς τῶν πιστῶς ἑπομένων σοι.

*Θεοτοκίον.*

Χρεωλύτης τῆς Εὔας γεγένησαι, Σὺ τὴν ὀφειλὴν τὴν ἐκείνης γὰρ πάναγνε, τῷ ἐκ Σοῦ ἀνατείλαντι, Ἀδὰμ νέῳ πλουσίως ἀπήτησας.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Ταῖς τῶν σῶν λόγων ἀκτῖσι φωτίζεται, ἡ Ἐκκλησία θεόφρον Γρηγόριε, ἱεράρχα πάνσοφε, τῷ θείῳ θρόνῳ παριστάμενος, ἐκτενῶς Χριστῷ τῷ Θεῷ, πρεσβείαν ποίει ὑπὲρ πάντων ἡμῶν.

## *Ὁ Οἶκος.*

Ἔχων τὸν μέγαν Ἀρχιερέα, ὦ Ἱεράρχα Γρηγόριε, τὸν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, τῆς εὐσεβοῦς ὁμολογίας ἐκράτησας· ἀποστολικῶς ἐν μέσῳ Ἐκκλησίας ὀρθοτομῶν τὸν λόγον τῆς ἀληθείας· ὅθεν κατ' ἴχνος αὐτοῦ πολιτευσάμενος, καὶ τὸ δοθέν σοι τάλαντον καλῶς ἐπαυξήσας, προσῆλθες μετὰ παῤῥησίας τῷ λόγῳ τῆς χάριτος, ἀῤῥήτου χαρᾶς ἀξιούμενος, καὶ ἡμῖν σωτηρίαν ἐξαιτούμενος, ὡς γὰρ θεῖος λειτουργὸς τοῦ Παντάνακτος, σὲ ἱκετεύομεν οἱ δοῦλοί σου, τοῦ ποιεῖν πρεσβείαν ὑπὲρ πάντων ἡμῶν.

## Συναξάριον.

Τῇ ΙΒ' τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ὁσίου Γρηγορίου τοῦ Α' τοῦ Διαλόγου Πάπα Ῥώμης

*Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου.*
*Ἐν τῷ μέσῳ δὲ τοῦ χοροῦ τῶν Ἀγγέλων.*

## Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἰσχύς σοι δεδώρηται παρὰ τοῦ μόνου, Θεοῦ ὦ Γρηγόριε, οἷα πιστῷ θεράποντι, τὴν ἰσχὺν διολέσαι τοῦ πολεμήτορος, καὶ σῶσαι τὸ ποίμνιον Χριστοῦ, τῆς τούτου βλάβης ἀδιαλώβητον.

Θυσίαν ἀναίμακτον τῷ παντεπόπτῃ, προσφέρων Γρηγόριε, τοῦ Ἀαρὼν ὑπέρτερος, ὤφθης οὐκ ἐν αἵματι, ταύρων καὶ τράγων τε, καὶ σποδῷ δαμάλεως λαούς, καθαγιάζων Χριστοῦ δὲ αἵματι.

Ὑμνήσας δι᾽ ὅλης σου τῆς ζωῆς Πάτερ, Τριάδα τὴν ἄκτιστον, ἐν γῇ ἀνελήλυθας, ναὸν εἰς οὐράνιον, ταύτῃ προσάδων ἀεί, ὕμνον τὸν τρισάγιον φωναῖς, ἀδιαλείπτως σοφὲ Γρηγόριε.

*Θεοτοκίον.*

Τὸ μέγα μυστήριον κυοφορίας, τῆς ἧς Μητροπάρθενε, φρικτὸν καὶ ἀνερμήνευτον, Θεὸν γὰρ ἐγέννησας σεσαρκωμένον ἡμῖν μείνασα Παρθένος ἀληθῶς, ὡς πρὸ τοῦ τόκου καὶ μετὰ τὴν γέννησιν.

*Ὠδὴ η΄. Κάμινός ποτε.*

Νόσων καὶ παθῶν, ἀκέστωρ ἀνεδείχθης, καὶ πονηρῶν διώκτης Ὅσιε, πνευμάτων Γρηγόριε· Ἀποστόλων γὰρ διάδοχος, καὶ θρόνου καὶ τῆς χάριτος, πίστεως καὶ ἁγνείας ὤφθης· διὸ σὲ γεραίρομεν.

Ὄρη νοητά, παθῶν τε καὶ δαιμόνων, δι᾽ ἐγκρατείας κατετρόπωσας, καὶ ὄρη κατέλαβες, ἀπαθείας ὢ Γρηγόριε, κᾀκεῖθεν τῷ Δεσπότῃ σου, ἔμελπες εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Μύρῳ νοητῷ, ἐχρίσθης Ἱεράρχα, τοῦ παναγίου ὅλος πνεύματος, καὶ μύρα ἀνέβλυσας, αἰσθητά τε καὶ νοούμενα, ἐκ λόγων θεοπνεύστων σου, καὶ λειψάνων θήκης, καὶ τῶν πολλῶν θαυμασίων σου.

*Θεοτοκίον.*

Ἄλλην κιβωτόν, καὶ οἶκον πλήρης θείας, δόξης Θεοῦ Σε νῦν γινώσκομεν, Σὲ γὰρ ἐξελέξατο, γενεῶν θεοχαρίτωτε, ἐκ πασῶν ὁ ὑπέρθεος, καὶ ἐν Σοὶ κατοικῆσαι, θεοπρεπῶς ᾑρετίσατο.

*Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος.*

Οἱ δῆμοι συνέλθετε τῶν εὐσεβῶν γηθόμενοι, χαρμοσύνως τελέσαι φαιδρὰν πανήγυριν, θείου Γρηγορίου σὺν πόθῳ, βραβεύει γάρ, ψυχῆς σωτηρίαν, ὑγείαν τε σώματος, τοῖς αὐτὸν τιμῶσι πάντοτε.

Σειραῖς κατεχόμενος ἀμέτρων ἐγκλημάτων μου, σοὶ προσέρχομαι Πάτερ, πίστει δεόμενος, ὅπως ταῖς πρεσβείαις σου λάβω ἀπαλλαγήν, τελείαν ἐκ τούτων, καὶ γὰρ μάκαρ δύνασαι, Ἱεράρχης ὡς θεόληπτος.

Αὐξήσας τὸ τάλαντον τῆς χάριτος Γρηγόριε, γηθοσύνως προσῆλθες, φάσκων τῷ Κτίστῃ σου, ἰδού σοι προσήγαγον Λόγε τὸ δωρηθέν, προσεπαυξημένον· διὸ εἰσελήλυθας, εἰς χαρὰν τὴν ἀνεκλάλητον.

*Θεοτοκίον.*

Σκηνὴ θεοδόξαστε, Σιὼν θεοχαρίτωτε, Θεοτόκε Παρθένε, χαῖρε Θεόνυμφε, χαῖρε ἡ χαρὰ τῶν Ἀγγέλων ἱεραρχῶν, χαῖρε ὡραιότης, πιστῶν χαῖρε καύχημα, καὶ ἀνθρώπων τὸ διάσωσμα.

*Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.*

Ἐν εὐσήμῳ ἑορτῇ, τοῦ Ἱεράρχου ἅπαντες, φιλέορτοι συνελθόντες, πανηγυρίσωμεν φαιδρῶς, πρεσβεύει γὰρ πρὸς Κύριον, παῤῥησίαν ὡς ἔχων, ἡμῖν δοῦναι ἔλεος.

*Θεοτοκίον.*

Καταφυγὴ ἡμῶν ἁγνή, ὑπάρχεις ὦ Παντάνασσα, Παρθένε Θεογεννῆτορ, δεόμεθά Σου ἐκτενῶς, σκέπε

φρούρει καὶ φύλαττε, πάντας τοὺς τῇ Μονῇ Σου, φοιτῶντας πανάχραντε.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ὁ θησαυρὸς τῶν χαρίτων τοῦ θείου Πνεύματος, ὁ τοῦ Χριστοῦ θεράπων, εὐσεβείας ὁ κῆρυξ, σάλπιγξ ἡ θεόπνους ὁ λειτουργός, τῆς Τριάδος ὁ ἔνθεος, ὁ θαυμαστὸς Ἱεράρχης ᾀσματικῶς, εὐφημείσθω νῦν Γρηγόριος.

Μυσταγωγῶν τοὺς ἀνθρώπους Πάτερ ἐδίδασκες, τὸν τῆς Ὀρθοδοξίας, εὐσεβῶς θεῖον λόγον, οἷα χριστομύστης ὡς τῶν σοφῶν, Ἀποστόλων ὁμότροπος, ὥσπερ λαμπρὸς θεολόγος καὶ εὐκλεής, ἰσαπόστολος Γρηγόριε.

Ἀπὸ παντοίων σκανδάλων καὶ πάσης θλίψεως, ἀπὸ παθῶν καὶ νόσων, τῶν ψυχῶν καὶ σωμάτων, βλάβης ἐκ παντοίας ἀπὸ ἐχθρῶν, αἰσθητῶν νοουμένων τε, τοὺς σὲ τιμῶντας ἐκ πόθου σῶζε ἀεί, Ἱεράρχα πανσεβάσμιε.

Ἀνευφημείσθω ὁ θεῖος καὶ νῦν Γρηγόριος, χρεωστικῶς ἐν ὕμνοις, καὶ ᾠδαῖς χαρμοσύνοις, ὡς μέγα τῶν ἁγίων Ἐκκλησιῶν, τοῦ Χριστοῦ ἱεράτευμα, ὁ ἀνυψώσας τὸ κέρας τῶν εὐσεβῶν, ὡς ποιμὴν ποιμένων ἄριστος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν ἐν πόνοις ἀσκητικοῖς ἀπαράμιλλον, καὶ ὑπὲρ τῆς αἰωνίου ζωῆς καλῶς ἀγωνισάμενον, Γρηγόριον τὸν ἀοίδιμον, τὸν τῆς ἱερᾶς ὑφηγητὴν μυσταγωγίας, εὐσεβῶν ἡ ὁμήγυρις ὑμνήσωμεν λέγοντες· χαίροις,

ἀρχιερέων ἡ κρηπίς, Ἀποστόλων ὁμότροπος, ὁ φωτίσας τοῦ κόσμου τὰ πέρατα, ἀρεταῖς καὶ διδάγμασιν, ἐκτενῶς οὖν τὸν Σωτῆρα ἱκέτευε, ὑπὲρ τῶν ἐκτελούντων τὴν μνήμην σου, Πάτερ ἁγιώτατε.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Ῥώμη ἐγκαυχᾶται μητροπρεπῶς, Πάπα Γρηγορίου Διαλόγου τῇ ἑορτῇ, ταύτης γὰρ τὸν θρόνον, ἐσέμνυνεν ἀξίως· συγγράψας λειτουργίαν, θείῳ ἐν πνεύματι.

